Καρίνας, καὶ Κρήσσας, καὶ Μελοττικὰς, καὶ τὰ λοιπὰ Εἴδη, ἃ καὶ καταλέγειν ὀχληρόν;

§. ρξγʹ. Ζʹ. Οὐ δεῖ μέντοι τὴν Φύσιν τῶν ὄντων παραβιάζεσθαι, οὐδὲ κατὰ διμοιρίαν, (ὥστινες εἰσηγούμενοι φέρονται), τὴν διαίρεσιν ἀεὶ φιλοτεχνεῖν. Εἰ γὰρ καὶ ἔστι τοῦτο ποιεῖν τῇ ἀντιπαραθέσει τοῦ ἀντιφάσκοντος, ἀλλὰ τίς ἡ ὄνησις, τοῦ τριγώνου φέρε τὸ μὲν ἰσόπλευρον λέγειν, τὸ δὲ μή· Καὶ τοῦ μὴ ἰσοπλεύρου, τὸ μὲν ἰσοσκελὲς, τὸ δὲ σκαληνὸν, ἐνὸν εἰσάπαξ εἰς τὸ σκαληνὸν διαιρῆσαι, καὶ τὸ ἰσοσκελὲς, καὶ τὸ ἰσόπλευρον;

§. ρξδʹ. Ηʹ. Οὐδ᾽ ἐκεῖνο δὲ κομψὸν ἐπὶ τῆς διαιρέσεως, εἰ τῶν μελῶν θάτερον, μηδεμίαν ἔχοι σχεδὸν ἀναλογίαν πρὸς τὸ λοιπὸν, ἢ τὰ λοιπά. Οἷον τῶν ἀνθρώπων οἱ μὲν ἄῤῥενες, αἱ δὲ θήλειαι, οἱ δ᾽ ἀῤῥενοθήλεις· ὅτι γίνονταί τινες οὓς καλοῦσιν Ἑρμαφροδίτους· τῶν γυναικῶν αἱ μὲν ἀπώγωνες, αἱ δὲ πωγωνίτιδες, παρὰ τὸ ὀφθῆναι καί τινα πώγωνα φύσασαν· τοῦ πολυαρίθμου τῶν Σινῶν Ἔθνους οἱ μὲν χριστιανοὶ, ὅτι ἐγένοντό τινες, καὶ παρ᾽ αὐτοῖς χριστιανίσαντες, οἱ δ᾽ οὐχί. Ὅμοιον δὲ, καὶ εἴτις εἴποι, τῶν ἐπὶ Νῶε ἀνθρώπων τοὺς μὲν πονηροὺς γεγονέναι, τοὺς δ᾽ ἀγαθοὺς, ὅτι Νῶε δίκαιος ἦν ἐν τῇ γενεᾷ αὐτοῦ.

§. ρξεʹ. Θʹ. Μηδέποτε διαιρεῖν οὗ ἡ Φύσις ἐν παραβύστῳ κεῖται ἀγνοουμένη· τὴν ἄλλως γὰρ ἄντις τοὺς κυνικοὺς ὀδόντας διέλοι εἰς τοὺς μὲν δεξιοὺς, τοὺς δ᾽ ἀριστεροὺς τοῖς μὴ προειληφόσι τίνες τῶν ὀδόντων οἱ κυνικοί· Διὸ καὶ Ἀριστοτέλης ὀρθῶς παραινεῖ τὰ συνώνυμα πρῶτον εἶναι ὁριστέα, ἔπειτα διαιρετέα.

§. ρξϛʹ. Ιʹ. Ἐπὶ δὲ τῶν ὁμωνύμων τὴν τάξιν ἀντιστρέφειν ἐπάναγκες. Ταῦτα γὰρ μηθὲν ὅλον κυρίως εἰπεῖν συνιστῶντα, ψιλὴν δὲ ὀνόματος κοινωνίαν ἐν ἑτερότητι Φύσεως παραφαίνοντα, πρῶτον διαιρετέον ἔπειτα ὁριστέον. Προσέχειν δὲ δεῖ, μὴ τὴν τῆς Φωνῆς εἰς τὰ δηλούμενα κυρίως εἶναι λάθοιμεν ὑπολαμβάνειν Διαίρεσιν, ποῦ γὰρ τὸ τοῦ ὅλου ὁμοφυὲς ἐνταῦθα τοῖς ἰδίοις μέρεσι; (§. ρνζʹ.) μόνην δὲ τῶν ὑπὸ τῆς Φωνῆς σημαίνεσθαι τεθέντων ἐξαρίθμησιν.

ΚΕΦΑ-



# ΚΕΦΑΛΑΙΟΝ ΕΚΤΟΝ.

## Περὶ τόπων τῶν Ἐννοιῶν. Ἤτοι περὶ τῆς τούτων εἴς τινα Γένη Ἀναγωγῆς.

Ἔνθα

## Περὶ τῶν Κατηγοριῶν.

§. ρξζʹ.

Τοῖς ὅσα ποτὲ Νῷ τυγχάνει περιληπτὰ, ἔνεισι μέντινες πρὸς ἄλληλα κοινωνίαι καὶ οἰκειότητες, περίεισι δὲ καὶ πλεῖσται ὅσαι πολλαχόθεν αἱ διαφοραί. Ἐπειδὴ δὲ τῷ λόγῳ δήπου τῶν διαφορῶν εἰς ἀπειρίαν μονονουχὶ τὰς τῶν πραγμάτων Ἐννοίας ἐκπίπτειν συμβαίνει, στάσεις τινὰς καὶ ὅρους αὐταῖς θέσθαι δεῖν ἔκριναν οἱ φιλοσοφοῦντες, καί τινας Κοινότητας, ὡσανεὶ Κεφάλαι᾽ ἄττα, ἢ τόπους περιγράψασθαι, ἐφ᾽ οὓς πᾶσα ἡ περὶ ὁτουοῦν Ἔννοια ἀναγομένη, ἐκτὸς μὲν εἴη ποικιλίας ἀστάτου, καὶ πολυσχεδοῦς καταμερισμοῦ, ἐντὸς δέ τινος τῶν τεθέντων ὁρίων τῶν ἐκτάσει μὲν πλατυτέρων, πλήθει δ᾽ οὐ πάνυ πολυαρίθμων γινομένη, εὐσύνοπτός τε ὑπάρχοι ταῖς θεωρίαις, καὶ εὐπερίληπτος. Τοὺς δὲ δὴ τόπους τούτους, καὶ τὰ τοιαῦτα Κεφαλαιώδη ὅρια, οἱ μὲν Φωνὰς Καθόλου ὠνόμασαν (1), οἱ δὲ Καθόλου κατηγορούμενα (2), οἱ δὲ Στοιχεῖα τῶν ὄντων (3), οἱ δὲ σχήματα Κατηγορίας, (4) ἢ Κατηγορίας ἁπλῶς (5), ἢ Γένη Γενικώτατα, οἷάπου καὶ τῷ ὄντι ἐστὶν, ὡς ἐφ᾽ ἅπερ ἀπὸ τῶν καθ᾽ ἕκαστα, κατὰ τὴν δι᾽ ἀφαιρέσεως τῶν ἐννοιῶν πρόοδον (§. οθʹ. πηʹ.) ἀποτελευτῶντες, ὡς ἐπὶ ἐσχάτους ὅρους ἱστάμεθα. (§ ραʹ. ρβʹ.)

§. ρξηʹ. Τοιγαροῦν αἱ ὅλαι πρόοδοι, αἱ ἀπὸ τῶν κατωτάτω, διὰ τῶν ἀνωτέρω ἀεὶ χωροῦσαι ἔστ᾽ ἐπ᾽ αὐτὰ τὰ ἀνώτατα, αἱ θρυλ-

(1) Φέρεται Ἀρχύτας ὁ Ταραντῖνος οὕτως ὀνομάσας.

(2) Βοέτιος.

(3) Ὁ Κυϊντιλιανὸς, φασὶ, παρὰ Ῥωμαίοις. Καὶ Κλήμης δὲ ὁ Ἀλεξ. ἐν Βιβλ. ηʹ. Στρωμ. Ἃ δὴ καὶ στοιχεῖα (λέγει) τῶν ὄντων φαμὲν, τῶν ἐν ὕλῃ, καὶ μετὰ τὰς ἀρχάς.

(4) Ἀριστ. Δʹ. Μεταφυσ.

(5) Ἐν αὐτῷ τῷ περὶ τούτων συγγράμ. Ἀριστ.